τὴν πατρίδα, καὶ θεοὺς μαρτύρομαι, οἳ ὑπακούσονταί μου
ἀδίκως ἀπολλυμένου καὶ ἐκδικήσουσί με. οἱ δὲ ὠθή-
σαντες ἔρριψαν αὐτὸν κατὰ τοῦ κρημνοῦ, καὶ οὕτως ἀπ-
έθανε. λοιμῷ δὲ καὶ συνοχῇ ἰσχυρᾷ καταληφθέντες
οἱ δελφοὶ χρησμὸν ἔλαβον ἐξιλεώσασθαι τὸν τοῦ αἰ-
σώπου μόρον. ἐλύπτοντο γὰρ ὑπὸ τῆς ἰδίας συνειδή-
σεως δολοφονήσαντες τὸν αἴσωπον. ναοποιήσαντες οὖν
ἔστησαν αὐτοῦ στήλην. μετὰ δὲ ταῦτα ἀκούσαντες οἱ τῆς
ἑλλάδος ἔξαρχοι, καὶ οἱ λοιποὶ διδάσκαλοι τὰ εἰς τὸν
αἴσωπον πραχθέντα, παραγενόμενοι ἐν δελφοῖς συ-
ζήτησιν ποιησάμενοι ἐκδίκησαν αὐτοῦ τὸν θάνατον.